# Ι΄ ΠΑΝΕΛΛΗΝΙΟΣ ΔΙΑΓΩΝΙΣΜΟΣ ΨΑΛΤΙΚΗΣ ΤΕΧΝΗΣ

## Α΄ ΕΠΙΠΕΔΟ

### Ἀπολυτίκιον Ὁσίου Ἰωάννου τοῦ Κουκουζέλους
### ἦχος α΄

Ποθήσας τῶν μελλόντων ἀγαθῶν τὴν ἀπόλαυσιν, πάντα τὰ ἐν κόσμῳ παρεῖδες, ὡς φθαρτὰ καὶ ἐπίκηρα. Καὶ ἄρας ἐπ' ὤμων τὸν σταυρὸν, προθύμως ἠκολούθησας Χριστόν. Καὶ βιώσας θεαρέστως, τοῦ μακαρίου τέλους τὴν ἀπόλαυσιν. Δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ ἁγιάσαντι. Δόξα τῷ σὲ ἐπαξίως, πάτερ δοξάσαντι.

### Ἀνατάσιμον Ἀπολυτίκιον
### ἦχος δ΄

Τὸ φαιδρὸν τῆς Ἀναστάσεως κήρυγμα, ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι αἱ τοῦ Κυρίου Μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀπορρίψασαι, τοῖς Ἀποστόλοις καυχώμεναι ἔλεγον· Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεός, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

### Ἀπολυτίκιον Ἁγίων Ἀναργύρων
### ἦχος πλ.δ΄

Ἅγιοι Ἀνάργυροι καὶ θαυματουργοί, ἐπισκέψασθε τὰς ἀσθενείας ἡμῶν, δωρεὰν ἐλάβετε, δωρεὰν δότε ἡμῖν.